του ἐνομίζετο ἡ Κύπρος) πλεονεξίᾳ νικώμενος, ἐδίωκε τὸν ἀρχιεπίσκοπον καὶ τοὺς περὶ αὐτὸν ἀρχιερεῖς, καὶ αἰτήσας τοῦ κράτους ἔλαβεν ἄδειαν, ἀντιστῆσαι ἑτέρους, ὡς μηκέτι ἔχειν τοὺς κωλύσοντας τῆς ἁρπαγῆς· οἱ δὲ λαθόντες διέφυγον, καὶ τὸν ῥηθέντα ἀπέστειλαν τῇ τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ δηλώσοντα τὴν ἐπήρειαν, χεῖρα βοηθείας αἰτούμενοι, ἐπιτρέψαντες καὶ εἴ τινος δέοιτο τῶν μετρίων προσδαπανᾶν. Ὁ μὲν οὖν ἀοίδιμος τότε οἰκουμενικὸς πατριάρχης κύριος Γαβριὴλ καὶ ἡ περὶ αὐτὸν ἱερὰ σύνοδος, ὑπερμαχοῦντες τῶν συναδελφῶν καὶ τῶν ἐκεῖ χριστιανῶν, ἐκκλησίας ὅλης κηδόμενοι, τὴν ἄθεσμον καὶ ἄδικον τοῦ τυράννου βουλὴν διεσκέδασαν, ἀκυρώσαντες καὶ καταργήσαντες τὴν παράνομον προχείρησιν, ἀποδεικνῦντες τὸν τὰ τοιαῦτα ἄθεσμα τολμῶντα ὕπουλον ἀντάρτην, καὶ πλεονέκτην ἀναίσχυντον, λυμεῶνά τε καὶ φθορέα τοῦ λαοῦ, ὡς τῆς ἐπαινουμένης τάξεως παραβάτην, ἐκάλεσαν δὲ καὶ ἐκφυγόντας ἀρχιερεῖς εἰς βασιλεύουσαν ἀνελθεῖν. Ὁ δὲ ῥηθεὶς Γεράσιμος τοῖς δυνατοῖς ὁμιλῶν, καὶ καταφανὴς γενόμενος, ἅτε ἄπειρος ὢν τῆς ἐνταῦθα πολιτικῆς, ὡς ἕτοιμος ἦν μεγάλα προσδαπανᾶν, ἵνα τύχῃ, ὧν ἤλπιζε, γέγονε ματτύη τοῖς λύχνοις τὸ δὴ λεγόμενον, κἀκ τούτου τοῖς πλεονεκτοῦσι καὶ ἐπαῦθις ἦν καταθύμιος· τοῖς δὲ σωφρονοῦσιν ἀηδὴς ἦν καὶ ἐπίμωμος, καὶ μᾶλλον ἐπιβλαβὴς ἐνομίζετο. Ἀπηρέσκοντο γοῦν καὶ τῶν ἀρχιερέων καὶ τῶν ἀρχόντων οἱ πλείονες τὴν τούτου προχείρησιν, καὶ τὸν παναγιώτατον κύριον Προκόπιον, τῇ ἔξωθεν βίᾳ, καὶ ἔσωθεν ῥᾳδιουργίᾳ ἀγενῶς ὑποκλίναντα, ἐμέμψαντο.

Τοῦ δὲ μακαριωτάτου πάπα καὶ πατριάρχου Ἀλεξανδρείας κυρίου Γερασίμου πρὸς θεὸν ἐκδημήσαντος τῇ ϛʹ. τοῦ αὐτοῦ αὐγούστου μηνός, καὶ γραμμάτων ἀπ' Αἰγύπτου ἐλθόντων, ψήφῳ καὶ ἐκλογῇ τῶν ἐνδημούντων ἐν Κωνσταντινουπόλει ἁγίων ἀρχιερέων, καὶ εὐγενεστάτων ἀρχόντων καὶ ἐπιτρόπων τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ ἀποστολικοῦ τούτου θρόνου,